ὅλον φησὶ Κράτης ἔοικέ τι εἶναι φάντασμα παντοδαπὸν γινόμενον. βολίτινον δὲ ὄνειον. βόλιτος γὰρ κυρίως τὸ τῶν A ὄνων ἀποπάτημα. τὸ αὐτὸ δὲ καὶ βόλβιτος.

Δι. Ιερεῦ διαφύλαξόν μ', ἵν' ὦ σοι ξυμπότης.
Ιε. Απολούμεθ', ὦναξ Ηράκλεις. Δι. οὐ, μὴ καλῆς
Μ' ὤνθρωφ', ἱκετεύω, μηδὲ κατερῇς τοὔνομα.
Ιε. Διόνυσε τοίνυν. Δι. τοῦτο δέ γ' ἧττον θατέρου.
Ξα. Ἴθ', ᾗπερ ἔρχει· δεῦρο δεῦρ' ὦ δέσποτα.
Δι. Τί δ' ἐστί; Ξα. θάρρει, πάντα τἀγαθὰ πεπράγαμεν.
Ἔξεστι δ', ὥσπερ Ηγέλοχος, ἡμῖν λέγειν,
Ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ.
Ἥμπουσα φρούδη. Δι. κατόμοσον. Ξα. νὴ Δία.
Δι. Καὖθις κατόμοσον. Ξα. νὴ Δί'. Δι. ὄμοσον. Ξα. νὴ Δία.
Δι. Οἴμοι τάλας, ὡς ὠχρίασ', αὐτὴν ἰδών.
Ὁδὶ δὲ δείσας ὑπερεπυρρίασέ μου.
Οἴμοι, πόθεν μοι ταυτὶ τὰ κακὰ προσέπεσε;
Τίν' αἰτιάσωμαι θεῶν μ' ἀπολλύναι;
Ξα. Αἰθέρα, Διὸς δωμάτιον, ἢ χρόνου πόδα.
Δι. Αὐλεῖ τις ἔνδον.
Οὗτος. Ξα. τί ἐστιν; Δι. οὐ κατήκουσας; Ξα. τίνος;
Δι. Αὐλῶν πνοῆς. Ξα. ἔγωγε, καὶ δᾴδων γέ με
Αὔρα τις εἰσέπνευσε μυστικωτάτη.
Αλλ' ἠρεμεὶ πτήξαντες ἀκροασώμεθα.

*BA. Sacerdos serua me, ut sim compotor tibi.*
*SA. Perimus, ô rex Hercules. BA. ne tu, ne ita*
*Me, obsecro, voces: neu nomen apertè proferas.*
*SA. Bacchum ergo dicam. BA. hoc multò minus illo altero.*
*XA. Age, quò tu abis? huc huc adesdum, here*
B *ilicet.*
*BA. Quid est? XA. bono animo es: nam benè nobiscum agitur: &*
*Idem nobis, quod Hegelocho, dicere licet:*
*E fluctibus serenitatem conspicor.*
*Disparuit spectrum. BA. iura mihi. XA. per Iouem.*
*BA. Iura iterū. XA. per Iouem. BA. iura equidem. XA. per Iouem.*
C *BA. Hei mihi misero, vt hoc spectro viso expallui.*
*Sed hic meticulosus Sacerdos plusquàm ego*
*Expalluit, heu, hei, vnde hæc mihi mala ingruunt?*
*Quemnam Deorum perdidisse me querar?*
*XA. Æthera, Iouis cubile, aut temporis pedem.*
*BA. Cantat quis intus.*
D *Heus, heus. XA. quid est? BA. non exaudisti? XA. quidnam here?*
*BA. Sonum tibiæ. XA. equidem: & tædarum me insuper*
*Afflauit aura quædam valdè mystica.*
*Sed age, quieti occulto auscultemus loco.*

Σχόλια. Ιερεῦ διαφύλαξον.] περὶ ταῖς θέαις προεδρίᾳ ἐτετίμητο ὁ ἱερεὺς τοῦ Διονύσου, πρὸς οὖν συνήθειαν καλεῖ ὁ Διόνυσος τὸν ἱερέα. ἄλλως. ἤδη γὰρ ἦν τῶν μεμυημένων κατὰ τὴν σκηνὴν γινόμενος. οἱ δέ φασιν ἄτοπον εἶναι νομίζειν ἀκολουθεῖν αὐτοῖς ἱερέα. μὴ γὰρ ἐμφαίνεσθαι. E τὸ δ' ἀληθὲς οὕτως ἔχειν. οἱ μεγάλοις κακοῖς περιπίπτοντες πρὸς ἱερεῖς ἐρχόμενοι ἱκέτευον αὐτοὺς εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι εἰς ἀπαλλαγήν. κατὰ οὖν μίμησιν ἐκείνων καὶ τοῦτο νῦν λέγει. ἔχειν δέ φασι καὶ λόγον, εἶναί τινος τὸν στίχον ποιητοῦ νῦν κατασυρόμενον. Ηράκλεις.] εἶχε γὰρ σχῆμα Ηρακλέους ὁ Διόνυσος. ἢ καὶ ὡς ἀλεξίκακον Ηρακλῆν καλεῖ. Μ' ὤνθρωπε] πρὸς τὸ σύνηθες τῆς ἀρχῆς τοῦ δευτέρου στίχου. διότι ἀπὸ συναλοιφῆς ἄρχεται. F εὐλαβεῖται δὲ καταφανὴς γενέσθαι ὁ Διόνυσος. Τοῦτο δέ γ' ἧττον θατέρου.] πιθανῶς τὸ τοῦ δειλοῦ ἦθος, τὸ μηδαμῶς θέλειν φανερὸν γενέσθαι. θέλει δὲ εἰπεῖν ὅτι τοῦτο χεῖρον τοῦ πρώτου. Ιθ' ᾗπερ ἔρχει.] τοῦτο ἔμφασιν παρέχει, ὡς προερχομένου αὐτοῦ πρότερον, ὄπισθεν τοῦ ἱερέως ὄντος.

BISETVS. Ηπερ] Εὐστάθιος. ᾗ ἀντὶ τοῦ ὅπου μετὰ προσγραφῆς τοῦ ι, ὁμοίως τῷ πῇ, καὶ τῷ ὅπῃ. ἢ δὲ ἀντὶ τοῦ ὡς, χωρὶς τοῦ ι. διὸ κἀνταῦθα ἤπερ γραπτέον δοκεῖ.

Σχόλια. Ηγέλοχος.] τραγῳδίας ὑποκριτής, ὃς καὶ ἐν τῷ Εὐριπίδου, προσάντος αὐτῷ τοῦ πνεύματος ἐν τῷδε G τῷ στίχῳ. ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ. αἰφνιδίως ὀφθῆναι συνελόντα τὴν συναλοιφήν. τοῦτον δὲ, καὶ ὡς ἀτερπῆ τὴν φωνήν, Πλάτων σκώπτει, καὶ Στράττις. ποῖ ποῖ πρὸς θεῶν ποῖ ποῖ γαλῆν. γαληνὰ ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ. καὶ Σαννυρίων δὲ ἐν Δανάῃ. τίς ἂν γενόμενον εἰς ὀπὴν γενήσωμαι φέρ' εἰ γενοίμην γαλῆ. ἀλλ' Ηγέλοχός με μηνύσειεν ὁ τραγικός. ἀνακράγοιτ' ἂν εὐθὺς εἰσιδών. ἐκ κυμάτων αὖ αὖθις αὖ γαλῆν ὁρῶ. E ἔστι δὲ παροιμία ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. οἱ δὲ λέγοντες ποιήτριαν εἶναι, τὸν Ηγέλοχον Αθήνησι τούτῳ συνεχῶς χρωμένην τῷ ἔπει, καὶ ἄλλα ἄττα τῶν αὐτοσχεδίως συντιθέντων, οὐκ ἀνεκτὰ τερατεύονται.

BISETVS. Γαλήνη κατὰ τὸν Εὐστάθιον λέγεται νηνεμίη. γαλήνη δὲ νηνεμίη, ὅταν ἐν μεγάλῳ κλύδωνι παύσηται ὁ ἄνεμος. πρὸς διαστολὴν τῆς ἁπλῶς γαλήνης, καθ' ἣν τελέως τὰ κύματα ἔστρωνται. ὅθεν γαλήνην ὁρῶ, μεταφορικῶς, τουτέστι νῦν τὰ πράγματα ἡμῖν καλῶς ἔχει. F καὶ γὰρ ἐκ τῶν κυμάτων ἐσώθημεν, ἅπερ ἡμᾶς ἐφόβει. ἀλλὰ νῦν τὸ γαλήνην ὁρῶ, ἀμφιβολίαν ἔχει. δύναται γὰρ νοεῖσθαι καὶ αὐτὸ τὸ ζῶον, ὃ γαλῆν καλοῦσιν, οὗπερ ἡ ἀπάντησις τοῖς ἀνθρώποις ἀναίσιος. καὶ κακοῦ τινος σημεῖον εἶναι ἐνομίζετο. Επίτηδες τοίνυν ὁ Ξανθίας ταύτῃ τῇ ἀμφιβολίᾳ κέχρηται, ἵνα τὸν ἑαυτοῦ δεσπότην μᾶλλον φοβοίη. εἴη δὲ κατά τινας συναλοιφή, ἤ, ὃ καὶ βέλτιον καὶ πιθανώτερον, γαλῆν γραπτέον, καὶ ἀποκοπὴν, ἀντὶ τοῦ γαλήνην. ἢ καὶ γαλῆν γραπτέον περισπωμένως κατὰ κρᾶσιν, ἐκ τοῦ γαλέην. ἐν δὲ τούτων τῶν ὀνομάτων προφορᾷ ἡ G διαφορὰ τῆς σημασίας, οὐ ῥᾳδίως διαστέλλεσθαι, καὶ διαγιγνώσκεσθαι δύναται.

Σχόλια. Ὁδὶ δὲ δείσας.] ὁ τοῦ Διονύσου ἱερεύς. πυρρὸς γὰρ ἦν κατὰ φύσιν. παρ' ὑπόνοιαν δὲ τὸ ἐπυρρίασε, πρὸς τὸ ὠχρίασεν. Αρίσταρχος δὲ ἐφ' ἑαυτοῦ φησι λέγειν τὸν Ξανθίαν. καὶ γὰρ διότι πυρρὸς, οὕτως ἐπικεκλῆσθαι. καθαπερ